**Le lingue letterarie, il lessico della poesia, le origini della metrica**

1. Poll. IX 125 ἡ δὲ χελιχελώνη, παρθένων ἐστὶν ἡ παιδιά, παρόμοιόν τι ἔχουσα τῇ χύτρᾳ· ἡ μὲν γὰρ κάθηται, καὶ καλεῖται χελώνη, αἱ δὲ περιτρέχουσι ἀνερωτῶσαι·

χελιχελώνη, τί ποιεῖς ἐν τῷ μέσῳ;

ἡ δὲ ἀποκρίνεται·

ἔρια μαρύομαι καὶ κρόκην Μιλησίαν.

εἶτ᾽ ἐκεῖναι πάλιν ἐκβοῶσιν·

ὁ δ᾽ ἔκγονος σου τί ποιῶν ἀπώλετο;

ἡ δέ φησι·

λευκᾶν ἀφ᾽ ἵππων εἰς θάλασσαν ἅλατο.

2. a) Hippon. frr. 1s. Dg.[2] ἔβωσε Μαίης παῖδα, Κυλλήνης πάλμυν / Ἑρμῆ κυνάγχα, μηιονιστὶ Κανδαῦλα, / φωρῶν ἑταῖρε, δεῦρό μοι σκαπερδεῦσαι

b) Ἑρμῆς, Κάσσμος, Ὀλυττεύς, Ἀριάγνη, χαίρε καὶ πίει(ς)

c) φερόντων, φερέσθων / φερέτωσαν, φερέσθωσαν ‖ -ησι / -αις ‖ ξύν / σύν

3. Arist. *Poet.* 1457b 1-7 ἅπαν δὲ ὄνομά ἐστιν ἢ κύριον ἢ γλῶττα ἢ μεταφορὰ ἢ κόσμος ἢ πεποιημένον ἢ ἐπεκτεταμένον ἢ ὑφῃρημένον ἢ ἐξηλλαγμένον. λέγω δὲ κύριον μὲν ᾧ χρῶνται ἕκαστοι, γλῶτταν δὲ ᾧ ἕτεροι· ὥστε φανερὸν ὅτι καὶ γλῶτταν καὶ κύριον εἶναι δυνατὸν τὸ αὐτό, μὴ τοῖς αὐτοῖς δέ· τὸ γὰρ σίγυνον Κυπρίοις μὲν κύριον, ἡμῖν δὲ γλῶττα

4. a) Arist. *Poet.* 1457a 32-36 ὀνόματος δὲ εἴδη τὸ μὲν ἁπλοῦν, ἁπλοῦν δὲ λέγω ὃ μὴ ἐκ σημαινόντων σύγκειται, οἷον γῆ, τὸ δὲ διπλοῦν· τούτου δὲ τὸ μὲν ἐκ σημαίνοντος καὶ ἀσήμου, πλὴν οὐκ ἐν τῷ ὀνόματι σημαίνοντος καὶ ἀσήμου, τὸ δὲ ἐκ σημαινόντων σύγκειται. εἴη δ᾽ ἂν καὶ τριπλοῦν καὶ τετραπλοῦν ὄνομα καὶ πολλαπλοῦν, οἷον τὰ πολλὰ τῶν Μασσαλιωτῶν, Ἑρμοκαϊκόξανθος

b) Arist. *Rhet.* 1406a 35-1406b 5 οἱ δ᾽ ἄνθρωποι τοῖς διπλοῖς χρῶνται ὅταν ἀνώνυμον ᾖ καὶ ὁ λόγος εὐσύνθετος, οἷον τὸ χρονοτριβεῖν· ἀλλ᾽ ἂν πολύ, πάντως ποιητικόν· διὸ χρησιμωτάτη ἡ διπλῆ λέξις τοῖς διθυραμβοποιοῖς (οὗτοι γὰρ ψοφώδεις), αἱ δὲ γλῶτται τοῖς ἐποποιοῖς (σεμνὸν γὰρ καὶ αὔθαδες), ἡ δὲ μεταφορὰ τοῖς ἰαμβείοις (τούτοις γὰρ νῦν χρῶνται, ὥσπερ εἴρηται)

c) Timoth. *Pers.* 215-236 Wil. = 202-224 Campb. = Hord. ἀλλ᾽ ὦ χρυσεοκίθαριν ἀέ-/ξων μοῦσαν νεοτευχῆ, / ἐμοῖς ἔλθ᾽ ἐπίκουρος ὕμ-/νοισ{ιν} ἰήιε Παιάν· / ὁ γάρ μ᾽ εὐγενέτας μακραί-/ων Σπάρτας μέγας ἁγεμὼν / βρύων ἄνθεσιν ἥβας / δονεῖ λαὸς ἐπιφλέγων / ἐλᾷ τ᾽ αἴθοπι μώμῳ, / ὅτι παλαιοτέραν νέοις / ὕμνοις Μοῦσαν ἀτιμῶ· / ἐγὼ δ᾽ οὔτε νέον τιν᾽ οὔ-/τε γεραὸν οὔτ᾽ ἰσήβαν / εἴργω τῶνδ᾽ ἑκὰ<ς> ὕμνων· / τοὺς {ο}δὲ μουσοπαλαιολύ-/μας, τούτους δ᾽ ἀπερύκω, / λωβητῆρας ἀοιδᾶν, / κηρύκων λιγυμακροφώ-/νων τείνοντας ἰυ{γ}γάς. / πρῶτος ποικιλόμουσος Ὀρ-/φεὺς †υν† ἐτέκνωσεν υἱὸς Καλλιόπας / †πιεριασενὶ†

5. Arist. *Poet.* 1457b 7-26 μεταφορὰ δέ ἐστιν ὀνόματος ἀλλοτρίου ἐπιφορὰ ἢ ἀπὸ τοῦ γένους ἐπὶ εἶδος ἢ ἀπὸ τοῦ εἴδους ἐπὶ τὸ γένος ἢ ἀπὸ τοῦ εἴδους ἐπὶ εἶδος ἢ κατὰ τὸ ἀνάλογον. λέγω δὲ ἀπὸ γένους μὲν ἐπὶ εἶδος οἷον “νηῦς δέ μοι ἥδ᾽ ἕστηκεν”· τὸ γὰρ ὁρμεῖν ἐστιν ἑστάναι τι. ἀπ᾽ εἴδους δὲ ἐπὶ γένος “ἦ δὴ μυρί᾽ Ὀδυσσεὺς ἐσθλὰ ἔοργεν”· τὸ γὰρ μυρίον πολύ ἐστιν, ᾧ νῦν ἀντὶ τοῦ πολλοῦ κέχρηται. ἀπ᾽ εἴδους δὲ ἐπὶ εἶδος οἷον “χαλκῷ ἀπὸ ψυχὴν ἀρύσας” καὶ “τεμὼν ταναήκεϊ χαλκῷ” (Emp. B 138 e 143 D.-K.)· ἐνταῦθα γὰρ τὸ μὲν ἀρύσαι ταμεῖν, τὸ δὲ ταμεῖν ἀρύσαι εἴρηκεν· ἄμφω γὰρ ἀφελεῖν τί ἐστιν. τὸ δὲ ἀνάλογον λέγω, ὅταν ὁμοίως ἔχῃ τὸ δεύτερον πρὸς τὸ πρῶτον καὶ τὸ τέταρτον πρὸς τὸ τρίτον· ἐρεῖ γὰρ ἀντὶ τοῦ δευτέρου τὸ τέταρτον ἢ ἀντὶ τοῦ τετάρτου τὸ δεύτερον. καὶ ἐνίοτε προστιθέασιν ἀνθ᾽ οὗ λέγει πρὸς ὅ ἐστι. λέγω δὲ οἷον ὁμοίως ἔχει φιάλη πρὸς Διόνυσον καὶ ἀσπὶς πρὸς Ἄρη· ἐρεῖ τοίνυν τὴν φιάλην ἀσπίδα Διονύσου καὶ τὴν ἀσπίδα φιάλην Ἄρεως. ἢ ὃ γῆρας πρὸς βίον, καὶ ἑσπέρα πρὸς ἡμέραν· ἐρεῖ τοίνυν τὴν ἑσπέραν γῆρας ἡμέρας ἢ ὥσπερ Ἐμπεδοκλῆς (B 152 D.-K.), καὶ τὸ γῆρας ἑσπέραν βίου ἢ δυσμὰς βίου

6. Arist. *Poet.* 1457b 32-1458a 9 πεποιημένον δ᾽ ἐστὶν ὃ ὅλως μὴ καλούμενον ὑπὸ τινῶν αὐτὸς τίθεται ὁ ποιητής, δοκεῖ γὰρ ἔνια εἶναι τοιαῦτα, οἷον τὰ κέρατα ἔρνυγας καὶ τὸν ἱερέα ἀρητῆρα. ἐπεκτεταμένον δέ ἐστιν ἢ ἀφῃρημένον τὸ μὲν ἐὰν φωνήεντι μακροτέρῳ κεχρημένον ᾖ τοῦ οἰκείου ἢ συλλαβῇ ἐμβεβλημένη, τὸ δὲ ἂν ἀφῃρημένον τι ᾖ αὐτοῦ, ἐπεκτεταμένον μὲν οἷον τὸ πόλεως πόληος καὶ τὸ Πηλείδου Πηληιάδεω, ἀφῃρημένον δὲ οἷον τὸ κρῖ καὶ τὸ δῶ καὶ “μία γίνεται ἀμφοτέρων ὄψ”. ἐξηλλαγμένον δ᾽ ἐστὶν ὅταν τοῦ ὀνομαζομένου τὸ μὲν καταλείπῃ τὸ δὲ ποιῇ, οἷον τὸ “δεξιτερὸν κατὰ μαζόν” ἀντὶ τοῦ δεξιόν

7. Arist. *Poet.* 1458a 18-31 λέξεως δὲ ἀρετὴ σαφῆ καὶ μὴ ταπεινὴν εἶναι. σαφεστάτη μὲν οὖν ἐστιν ἡ ἐκ τῶν κυρίων ὀνομάτων, ἀλλὰ ταπεινή· παράδειγμα δὲ ἡ Κλεοφῶντος ποίησις καὶ ἡ Σθενέλου. σεμνὴ δὲ καὶ ἐξαλλάττουσα τὸ ἰδιωτικὸν ἡ τοῖς ξενικοῖς κεχρημένη· ξενικὸν δὲ λέγω γλῶτταν καὶ μεταφορὰν καὶ ἐπέκτασιν καὶ πᾶν τὸ παρὰ τὸ κύριον. ἀλλ᾽ ἄν τις ἅπαντα τοιαῦτα ποιήσῃ, ἢ αἴνιγμα ἔσται ἢ βαρβαρισμός· ἂν μὲν οὖν ἐκ μεταφορῶν, αἴνιγμα, ἐὰν δὲ ἐκ γλωττῶν, βαρβαρισμός. αἰνίγματός τε γὰρ ἰδέα αὕτη ἐστί, τὸ λέγοντα ὑπάρχοντα ἀδύνατα συνάψαι· κατὰ μὲν οὖν τὴν τῶν ἄλλων ὀνομάτων σύνθεσιν οὐχ οἷόν τε τοῦτο ποιῆσαι, κατὰ δὲ τὴν μεταφορῶν ἐνδέχεται, οἷον “ἄνδρ᾽ εἶδον πυρὶ χαλκὸν ἐπ᾽ ἀνέρι κολλήσαντα”, καὶ τὰ τοιαῦτα. τὰ δὲ ἐκ τῶν γλωττῶν βαρβαρισμός. δεῖ ἄρα κεκρᾶσθαί πως τούτοις· τὸ μὲν γὰρ τὸ μὴ ἰδιωτικὸν ποιήσει μηδὲ ταπεινόν, οἷον ἡ γλῶττα καὶ ἡ μεταφορὰ καὶ ὁ κόσμος καὶ τἆλλα τὰ εἰρημένα εἴδη, τὸ δὲ κύριον τὴν σαφήνειαν

8. a) Arist. *Rhet.* 1405a 28-31 τὸ δὲ ὡς ὁ Τήλεφος Εὐριπίδου φησίν, “κώπης ἀνάσσων κἀποβὰς εἰς Μυσίαν” (fr. 705 N.[2]), ἀπρεπές, ὅτι μεῖζον τὸ ἀνάσσειν ἢ κατ᾽ ἀξίαν· οὐ κέκλεπται οὖν

b) Plut. *Glor. Ath.* 347f-348a ἡ δὲ Κόριννα τὸν Πίνδαρον, ὄντα νέον ἔτι καὶ τῇ λογιότητι σοβαρῶς χρώμενον, ἐνουθέτησεν ὡς ἄμουσον ὄντα [καὶ] μὴ ποιοῦντα μύθους, ὃ τῆς ποιητικῆς ἔργον εἶναι συμβέβηκε, γλώσσας δὲ καὶ καταχρήσεις καὶ μεταφορὰς καὶ μέλη καὶ ῥυθμοὺς ἡδύσματα τοῖς πράγμασιν ὑποτιθέντα. † σφόδρ' οὖν ὁ Πίνδαρος ἐπιστήσας τοῖς λεγομένοις ἐποίησεν ἐκεῖνο τὸ μέλος "Ἰσμηνὸν ἢ χρυσαλάκατον Μελίαν, / ἢ Κάδμον ἢ Σπαρτῶν ἱερὸν γένος ἀνδρῶν, / ἢ τὸ πάνυ σθένος Ἡρακλέους / ἢ τὰν Διωνύσου πολυγαθέα τιμάν" (fr. 29 M.). δειξαμένου δὲ τῇ Κορίννῃ, γελάσασα ἐκείνη τῇ χειρὶ δεῖν ἔφη σπείρειν, ἀλλὰ μὴ ὅλῳ τῷ θυλάκῳ. τῷ γὰρ ὄντι συγκεράσας καὶ συμφορήσας πανσπερμίαν τινὰ μύθων ὁ Πίνδαρος εἰς τὸ μέλος ἐξέχεεν

9. a) arc. παρ*h*εταξάμενος / ἐτάζω, ἐτε(ϝ)ός, ἔτυμος / ὅσιος / ai. *satyaḥ*
b) ὄναρ, ὕπαρ

10. a) *jagatiṛ* e *triṣṭubh*: ⏓⏓⏓⏓⏓ ⏑⏑–⏑–⏑⏓ e ⏓⏓⏓⏓⏓ ⏑⏑–⏑–⏓
b) gl ⏓⏓ –⏑⏑–⏑–, pher ⏓⏓ –⏑⏑––, hipp. ⏓⏓ –⏑⏑–⏑–– (tel, reiz, otton).
c) Alcae. fr. 70,6-13 V.

κῆνος δὲ παώθεις Ἀτρεΐδα[ν].[
δαπτέτω πόλιν ὡς καὶ πεδὰ Μυρσί̣[λ]ω̣[
θᾶς κ' ἄμμε βόλλητ' Ἄρευς ἐπι τ.ύχε..[
τρόπην· ἐκ δὲ χόλω τῶδε λαθοίμεθ..[·
χαλάσσομεν δὲ τὰς θυμοβόρω λύας
ἐμφύλω τε μάχας, τάν τις Ὀλυμπίων
ἔνωρσε, δᾶμον μὲν εἰς ἀυάταν ἄγων
Φιττάκωι δὲ δίδοις κῦδος ἐπήρ[ατ]ο̣ν.